107 ἀρετῆς ἕξιν, παρῄνει φυλάττεσθαι. καὶ τὰ πρὸς εὐάγειαν
δὲ ἐναντίως ἔχοντα καὶ ἐπιθολοῦντα τῆς ψυχῆς τάς τε
ἄλλας καθαρότητας καὶ τὰ ἐν τοῖς ὕπνοις φαντάσματα
παρητεῖτο. κοινῶς μὲν οὖν ταῦτα ἐνομοθέτησε περὶ τρο-
φῆς, ἰδίᾳ δὲ τοῖς θεωρητικωτάτοις τῶν φιλοσόφων καὶ
ὅτι μάλιστα ἀκροτάτοις καθάπαξ περιῄρει τὰ περιττὰ καὶ
ἄδικα τῶν ἐδεσμάτων, μήτε ἔμψυχον μηδὲν μηδέποτε
ἐσθίειν εἰσηγούμενος μήτε οἶνον ὅλως πίνειν μήτε θύειν
ζῷα θεοῖς μήτε καταβλάπτειν μηδ᾽ ὁτιοῦν αὐτά, διασῴζειν
108 δὲ καὶ τὴν πρὸς αὐτὰ δικαιοσύνην ἐπιμελέστατα. καὶ αὐτὸς
οὕτως ἔζησεν, ἀπεχόμενος τῆς ἀπὸ τῶν ζῴων τροφῆς καὶ
τοὺς ἀναιμάκτους βωμοὺς προσκυνῶν, καὶ ὅπως μηδὲ ἄλλοι
ἀναιρήσωσι τὰ ὁμοφυῆ πρὸς ἡμᾶς ζῷα προθυμούμενος, τά
τε ἄγρια ζῷα σωφρονίζων μᾶλλον καὶ παιδεύων διὰ λόγων
καὶ ἔργων, ἀλλ᾽ οὐχὶ διὰ κολάσεως καταβλάπτων. ἤδη δὲ
καὶ τῶν πολιτικῶν τοῖς νομοθέταις προσέταξεν ἀπέχεσθαι
τῶν ἐμψύχων· ἅτε γὰρ βουλομένους ἄκρως δικαιοπραγεῖν
ἔδει δήπου μηδὲν ἀδικεῖν τῶν συγγενῶν ζῴων. ἐπεὶ πῶς
ἂν ἔπεισαν δίκαια πράττειν τοὺς ἄλλους αὐτοὶ ἁλισκό-
μενοι ἐν πλεονεξίᾳ; συγγενικὴ δ᾽ ἡ τῶν ζῴων μετοχή,
ἅπερ διὰ τὴν τῆς ζωῆς καὶ τῶν στοιχείων τῶν αὐτῶν
κοινωνίαν καὶ τῆς ἀπὸ τούτων συνισταμένης συγκράσεως
109 ὡσανεὶ ἀδελφότητι πρὸς ἡμᾶς συνέζευκται. τοῖς μέντοι
ἄλλοις ἐπέτρεπέ τινων ζῴων ἅπτεσθαι, ὅσοις ὁ βίος μὴ
πάνυ ἦν ἐκκεκαθαρμένος καὶ ἱερὸς καὶ φιλόσοφος· καὶ τού-

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id415481813/68 UNIVERSITÄT LEIPZIG